**Readings of 17th Sunday of Matthew**

**Sunday of the Canaanite Woman**

**Ἀναγνώσματα ιζ′ Κυριακῆς Ματθαίου**

**Ἀπόστολος 17ης Κυριακῆς (Β′ Πρός Κορινθίους ς′ 16-18, ζ′ 1)**

Ἀδελφοί, ἡμεῖς γὰρ ναὸς θεοῦ ἐσμεν ζῶντος, καθὼς εἶπεν ὁ θεὸς ὅτι Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω καὶ ἔσομαι αὐτῶν θεός καὶ αὐτοὶ ἔσονταί μου λαός. διὸ ἐξέλθατε ἐκ μέσου αὐτῶν καὶ ἀφορίσθητε, λέγει κύριος, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε· κἀγὼ εἰσδέξομαι ὑμᾶς καὶ ἔσομαι ὑμῖν εἰς πατέρα καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας, λέγει κύριος παντοκράτωρ. ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας, ἀγαπητοί, καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ θεοῦ.

**Apostolos of the 17th Sunday (2 Corinthians 6: 16-18; 7: 1)**

Brethren, we are the temple of the living God; as God said, "I will live in them and move among them, and I will be their God, and they shall be my people. Therefore come out from them, and be separate from them, says the Lord, and touch nothing unclean; then I will welcome you, and I will be a father to you, and you shall be my sons and daughters, says the Lord Almighty." Since we have these promises, beloved, let us cleanse ourselves from every defilement of body and spirit, and make holiness perfect in the fear of God.

**Εὐαγγέλιον 17ης Κυριακῆς Ματθαίου (Ματθ. ιε′ 21-28)**
**Κυριακή τῆς Χαναναίας**

Τῷ καιρῷ ἐκείνῳ ὁ Ἰησοῦς ἀνεχώρησεν εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος. καὶ ἰδοὺ γυνὴ Χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα ἔκραζεν λέγουσα, Ἐλέησόν με, κύριε υἱὸς Δαυίδ· ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον. καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἠρώτουν αὐτὸν λέγοντες, Ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν. ὁ δὲ ἀποκριθεὶς εἶπεν, Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. ἡ δὲ ἐλθοῦσα προσεκύνει αὐτῷ λέγουσα, Κύριε, βοήθει μοι. ὁ δὲ ἀποκριθεὶς εἶπεν, Οὐκ ἔστιν καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις. ἡ δὲ εἶπεν, Ναί κύριε, καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. τότε ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ, Ὦ γύναι, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις. καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης.

**Divine Liturgy Gospel of the 17th Sunday of Matthew (Matthew 15: 21-28)**
**Sunday of the Canaanite Woman**

In those days, Jesus withdrew to the district of Tyre and Sidon. And behold, a Canaanite woman from that region came out and cried, "Have mercy on me, O Lord, Son of David; my daughter is severely possessed by a demon." But he did not answer her a word. And his disciples came and begged him, saying, "Send her away, for she is crying after us." He answered, "I was sent only to the lost sheep of the house of Israel." But she came and knelt before him, saying, "Lord, help me." And he answered, "It is not fair to take the children's bread and throw it to the dogs." She said, "Yes, Lord, yet even the dogs eat the crumbs that fall from their masters' table." Then Jesus answered her, "O woman, great is your faith! Be it done for you as you desire." And her daughter was healed instantly.